13 ΝΟΕΜΒΡΙΟΥ

Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ Χρυσοστόμου. (†407)

* * * * *


ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον,

Συναπτὴ μεγάλη, μεθ' ἣν ἐκφώνησις·

Ὅτι πρέπει σοι πᾶσα δόξα...


Ἦχος πλ. δ Γα ϱ



Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.


Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.




ΑΠΟΛΥΤΙΚΙΑ


Τοῦ Ἁγίου.

Ἦχος πλ. δ Γα ϱ





Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.



Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι σὸν τὸ κράτος...

* * *

ΚΑΘΙΣΜΑΤΑ

[Τὸ Ψαλτήριον τῆς ἡμέρας καὶ ὁ πολυέλεος τοῦ ἁγίου]

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τὴν σοφίαν ἐξ ὕψους καταμαθών, καὶ τὴν χάριν τῶν λόγων παρὰ Θεοῦ, τοῖς πᾶσιν ἐξέλαμψας, ὡς χρυσὸς ἐν καμίνῳ, καὶ τὴν Ἁγίαν

Τριάδα, Μονάδα ἐκήρυξας, τὴν φιλάργυρον πλάνην, τοξεύσας τοῖς λόγοις σου· ὅθεν καὶ πρὸς ζῆλον, Βασιλίδα ἐλέγξας, Ἀρείου κατήσχυνας, τὸ ἀλλόφυλον φρύαγμα. Ἰωάννη Χρυσόστομε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. Τὸ αὐτό.

Τὴν σοφίαν ἐξ ὕψους καταμαθών, ...

Καὶ νῦν. Θεοτοκίον.

Τὴν ψυχήν μου Παρθένε τὴν ταπεινήν, τὴν ἐν ζάλῃ τοῦ βίου τῶν πειρασμῶν, νῦν ὡς ἀκυβέρνητον, ποντουμένην τῷ κλύδωνι, ἁμαρτιῶν τε φόρτῳ, φανεῖσαν ὑπέραντλον, καὶ εἰς πυθμένα Ἅδου, πεσεῖν κινδυνεύουσαν, φθάσον Θεοτόκε, τῇ θερμῇ σου πρεσβείᾳ, καὶ σῶσον παρέχουσα, σὸν λιμένα τὸν εὔδιον, ἵνα πίστει κραυγάζω σοι· Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων δοῦναί μοι τὴν ἄφεσιν· σὲ γὰρ ἔχω ἐλπίδα, ὁ ἀνάξιος δοῦλός σου.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος γ΄. Θείας πίστεως.

Σκεῦος ἔνθεον τῆς Ἐκκλησίας, πλοῦτος ἄσυλος τῆς εὐσεβείας, ἀνεδείχθης Ἱεράρχα Χρυσόστομε, ἐν ἀπαθείᾳ φαιδρύνας τὸν βίον σου, τοῖς δεομένοις ἐπαντλήσας τὸν ἔλεον· Πάτερ ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. Ἕτερον.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.


Τὸν λειμῶνα τῶν λόγων τῶν θεοπνεύστων Γραφῶν, τὸν ἡμᾶς ὁδηγοῦντα πρὸς τὴν μετάνοιαν, τὸν τοὺς ποικίλους πειρασμοὺς ὑπομείναντα, τὸν Χρυσόστομον πιστοί, ὡς διδαχθέντες ὑπ᾽ αὐτοῦ, τιμήσωμεν κατὰ χρέος· πρεσβεύει γὰρ τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.


Καὶ νῦν. Θεοτοκίον.


Τὸ ἐξαίσιον θαῦμα τὸ τῆς συλλήψεως, καὶ ὁ ἄφραστος τρόπος ὁ τῆς κυήσεως, ἐν σοὶ ἐγνώρισται, ἁγνὴ Ἀειπάρθενε· καταπλήττει μου τὸν νοῦν, καὶ ἐξιστᾷ τὸν λογισμόν, ἡ δόξα σου Θεοτόκε, τοῖς πᾶσιν ἐφαπλουμένη, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.


Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἐπεφάνης σήμερον. Ἦχος  Βου ξ











Δόξα.


Τὸν συνάναρχον Λόγον. Ἦχος 


















Καὶ νῦν. Θεοτοκίον.
















* * *

ΑΝΑΒΑΘΜΟΙ, ΠΡΟΚΕΙΜΕΝΟΝ

Οἱ Ἀναβαθμοί· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.


Ἦχος Βου






Προκείμενον. Ἦχος δ΄. Ψαλμὸς μή.

Ἦχος Βου







Στίχ. α΄. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες











Στίχ. β΄. Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου,












ΤΑΞΙΣ ΕΩΘΙΝΟΥ ΕΥΑΓΓΕΛΙΟΥ

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ὁ ἱερεύς· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, ...
Ἀμήν.


Σταθερὸν Προκείμενον ὄρθρου.
Ψαλμὸς ρν΄ (150).

Ἦχος Δι




Στίχ. α΄. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν

στερεώματι τῆς δυνάμεως αὐτοῦ.



Στίχ. β΄. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ.



Εὐαγγέλιον.

Ὁ διάκονος· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Κύριε, ἐλέησον. (γ΄)

Ὁ διάκονος· Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ ἱερεύς· Εἰρήνη πᾶσι.

Καὶ τῷ πνεύματί σου.

Ὁ ἱερεύς· Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα. (ι΄ 1-9)

(Ζήτει τῇ ΙΓ΄ Νοεμβρίου, εἰς τὸν Ὄρθρον).

Ὁ διάκονος· Πρόσχωμεν.

Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ ἀναγινώσκει ὁ ἱερεὺς τὸ Εὐαγγέλιον
τοῦ Ὄρθρου ἀπὸ τῆς Ὡραίας Πύλης.

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν ἐκεῖνος κλέπτης ἐστὶν καὶ λῃστής· ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας ποιμήν ἐστιν τῶν προβάτων. Τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει, καὶ τὰ ἴδια πρόβατα φωνεῖ κατ᾽ ὄνομα καὶ ἐξάγει αὐτά. Ὅταν τὰ ἴδια πάντα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται, καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασιν τὴν φωνὴν αὐτοῦ· ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσουσιν ἀλλὰ φεύξονται ἀπ᾽ αὐτοῦ, ὅτι οὐκ οἴδασιν τῶν ἀλλοτρίων τὴν φωνήν. Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. Εἶπεν οὖν πάλιν ὁ Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. Πάντες ὅσοι ἦλθον (πρὸ ἐμοῦ) κλέπται εἰσὶν καὶ λῃσταί· ἀλλ᾽ οὐκ

ἤκουσαν αὐτῶν τὰ πρόβατα. Ἐγώ εἰμι ἡ θύρα· δι᾽ ἐμοῦ ἐάν τις εἰσέλθῃ σωθήσεται καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει.

Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης

τὸν ν΄ ψαλμόν, χύμα.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.


Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.


Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.


Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ

ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Ἦχος Δι









Εἶτα τὸ ἰδιόμελον.

Ἦχος Πα

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ

πλῆθος τῶν οἰκτιρμῶν σου





Σῶσον, ὁ Θεός, τὸν λαόν Σου... Κύριε, ἐλέησον (ιβ΄). Ἐλέει καὶ οἰκτιρμοῖς... Ἀμήν.

* * *

ΟΙ ΚΑΝΟΝΕΣ

Ὁ Κανὼν τῆς Θεοτόκου εἰς στ΄ καὶ τοῦ Ἁγίου η΄.

Ὁ Κανὼν τῆς Θεοτόκου.

(ἐὰν ψαλῇ εἰς Ϛ΄ τότε ὁ εἱρμὸς δευτεροῦται).

Ὠδὴ α΄. Ὁ εἱρμός. Ἦχος πλ. δ΄.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν, μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα· Τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Τροπάρια.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν· ὦ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ

δεινῶν με διάσωσον.
Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Παθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας ἐμπιπλῶσαί μου τὴν ψυχήν· εἰρήνευσον Κόρη τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου Πανάμωμε.
Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Σωτῆρα τεκοῦσά σε καὶ Θεόν, δυσωπῶ Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν· σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.
Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

Ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ Ἀκροστιχίς·
Τοῦ Πνεύματος μέλπω σὲ τὸ χρυσοῦν στόμα.
Ποίημα Θεοφάνους.
ὨΙδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Τῆς μετανοίας γεγονὼς θερμότατος, κῆρυξ Χρυσόστομε, μετανοεῖν Πάτερ, τῷ Θεῷ με πρέσβευε, ἐξ ὅλης τῆς καρδίας μου, καὶ τῶν πάλαι πταισμάτων, θεραπευθῆναι τὰ τραύματα, τῇ σῇ συμπαθείᾳ δυσώπησον.
Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Ὅλην τὴν αἴγλην τοῦ Ἁγίου Πνεύματος, Πάτερ δεξάμενος, ὁλολαμπὴς ὤφθης, στῦλος προηγούμενος, τῆς Ἐκκλησίας Ὅσιε, φωτεινή τε νεφέλη, παμμάκαρ ἐπισκιάζουσα, τὰ τῶν Ὀρθοδόξων συστήματα.

Δόξα.

Ὑπὸ Χριστοῦ προχειρισθεὶς Διδάσκαλος, θεῖα διδάγματα, χρυσοειδεῖ γλώσσῃ, γνώμῃ τε θεόφρονι, πλουσίως σὺ ἐπήγασας· τοῦ Θεοῦ ποταμὸς γάρ, ὑδάτων πλήρης τοῦ Πνεύματος, ὤφθης θεοφάντορ Χρυσόστομε.

Καὶ νῦν. Θεοτοκίον.

Πεποικιλμένη ποικιλίᾳ χάριτος, θεοχαρίτωτε, τὸν τοῦ Πατρὸς Λόγον, σάρκα χρηματίσαντα, δι᾽ εὐσπλαγχνίαν ἄφατον, ὑπὲρ νοῦν τε καὶ λόγον, εὐλογημένη γεγέννηκας, μείνασα παρθένος ἀμόλυντος.

Τῆς Θεοτόκου. ὨΙδὴ γ΄.
Ἦχος πλ. δ΄. Ὁ εἱρμός.

Οὐρανίας ἀψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε Φιλάνθρωπε.

Τροπάρια.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, σὲ Θεογεννῆτορ Παρθένε· σύ με κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη Πανύμνητε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἱκετεύω Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην, διασκεδάσαι μου· σὺ γὰρ Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας, μόνη Πανάχραντε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον, πᾶσιν ἀνάβλυσον· πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν ἰσχύϊ, τὸν Χριστὸν κυήσασα, Θεομακάριστε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Χαλεπαῖς ἀῤῥωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ Παρθένε, σύ μοι βοήθησον· τῶν ἰαμάτων γάρ, ἀνελλιπῆ σε γινώσκω, θησαυρὸν Πανάμωμε, τὸν ἀδαπάνητον.

Τοῦ Ἁγίου. ὨΙδὴ γ΄.

Ἦχος πλ. δ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νοῦν σὺ Χριστοῦ πεπλουτηκώς, σῇ καθαρᾷ πολιτείᾳ, τῆς ἀνθρώπων σωτηρίας ἐγένου, συνεργὸς ὑφηγητής, δημιουργὸς Χρυσόστομε, διδασκαλίας βρύων, σωτηριώδεις θεόπνευστε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐκ τῶν ἀσύλων θησαυρῶν, τοῦ Πνεύματος σὺ πλουτήσας, ἐκ πηγῶν τοῦ σωτηρίου ἀντλήσας, τὴν ἀέναον πηγήν, τῶν διδαγμάτων ἤρδευσας, τῆς Ἐκκλησίας ἅπαν, ὅσιε Πάτερ τὸ πρόσωπον.

Δόξα.

Ὑλομανούσας τῶν ψυχῶν, Χρυσόστομε τὰς ἀρούρας, τῇ πανσόφῳ γεωργίᾳ τῶν λόγων, ἐξεκάθηρας σαφῶς, καὶ καρποφόρους ἔδειξας, τοῖς οὐρανίοις ὄμβροις, ταύτας ἐπάρδων Θεόληπτε.

Καὶ νῦν. Θεοτοκίον.

Μῶμος ἐν σοὶ καὶ μολυσμός, οὐκ ἔστιν ὅλως Παρθένε, ἐνδιαίτημα δὲ μᾶλλον ἐφάνης, οὐρανίων ἀρετῶν· ἐν σοὶ γὰρ κατεσκήνωσε, τῶν ἀρετῶν ἡ πᾶσα, ἁγιωσύνη Πανάμωμε.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...

* * *

ΜΕΣΩΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

Κάθισμα τοῦ Ἁγίου.

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τῆς ἀῤῥήτου σοφίας θεοπτικῶς, ἐξαντλήσας τὸν πλοῦτον τὸν γνωστικόν, πᾶσιν ἐθησαύρισας, ὀρθοδοξίας τὰ νάματα, τῶν μὲν πιστῶν καρδίας, ἐνθέως εὐφραίνοντα, τῶν δὲ ἀπίστων ἀξίως, βυθίζοντα δόγματα· ὅθεν δι᾽ ἀμφοτέρων, εὐσεβείας ἱδρῶσιν, ἐδείχθης ἀήττητος, τῆς Τριάδος ὑπέρμαχος. Ἰωάννη Χρυσόστομε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τὸν φλογμὸν τῆς γεέννης καὶ ἐμπρησμόν, τὸν κλαυθμὸν τὸν ἐν ταύτῃ καὶ ὀδυρμόν, τὸν ἐλεεινότατον, χωρισμὸν καὶ πικρότατον, τοῦ τῶν Ἁγίων κλήρου, καὶ τῆς ὁμηγύρεως, ἐνθυμουμένη φρῖξον, ψυχή μου καὶ στέναξον· καὶ τὰ γραμματεῖα, τῶν μυρίων χρεῶν σου, ἀπαλεῖψαι ἐπείχθητι, κατανύξεως δάκρυσι, συνεργὸν ἀκαταίσχυντον, ἔχουσα τὴν μόνην Ἁγνήν, δι᾽ ἧς πταισμάτων, δέδοται ἡ ἄφεσις, τοῖς αὐτὴν Θεοτόκον, ὀρθοδόξως δοξάζουσι.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης...

* * *

ΚΟΝΤΑΚΙΟΝ, ΟΙΚΟΣ, ΣΥΝΑΞΑΡΙΟΝ

Κοντάκιον τοῦ Ἱεράρχου.

Ἦχος πλ. β΄. Τὴν ὑπὲρ ἡμῶν.

Ἐκ τῶν οὐρανῶν, ἐδέξω τὴν θείαν χάριν, καὶ διὰ τῶν σῶν, χειλέων πάντας διδάσκεις, προσκυνεῖν ἐν Τριάδι τὸν ἕνα Θεόν· Ἰωάννη Χρυσόστομε, παμμακάριστε Ὅσιε, ἐπαξίως εὐφημοῦμέν σε· * ὑπάρχεις γὰρ καθηγητής, ὡς τὰ θεῖα σαφῶν.

Ὁ Οἶκος.

Τῷ τῶν ὅλων Ποιητῇ κλίνω τὸ γόνυ, τῷ προαιωνίῳ Λόγῳ χεῖρας ἐκτείνω, λόγου ζητῶν χάρισμα, ἵνα ὑμνήσω τὸν Ὅσιον, ὃν αὐτὸς ἐμεγάλυνε· φησὶ γὰρ τῷ Προφήτῃ ὁ ζῶν εἰς τοὺς αἰῶνας· Δοξάζω τοὺς ἐν πίστει δοξάζοντάς με. Ὁ οὖν ἐν τοῖς πάλαι τὸν Σαμουὴλ ἀνυψώσας, ἐδόξασε νῦν τὸν Ἱεράρχην· τὸ τάλαντον γὰρ ὃ ἐπιστεύθη, καλῶς ἐμπορευσάμενος, τῷ Βασιλεῖ προσήγαγε· διὸ καὶ ὑπερύψωσεν αὐτὸν ὁ ὑπερούσιος. Τούτου χάριν αἰτῶ ὁ ἀνάξιος ἐγὼ λόγον δοθῆναί μοι, ἵνα ἰσχύσω εὐσεβῶς ἀνυμνῆσαι αὐτόν. * Τῶν περάτων γὰρ ὑπάρχει καθηγητής, ὡς τὰ θεῖα σαφῶν.

Συναξάριον.

Τῇ ΙΓ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ

Χρυσοστόμου. (†407)

Στίχ. Μύσας ὁ χρυσοῦς Ἰωάννης τὸ στόμα,
Ἀφῆκεν ἡμῖν ἄλλο τὰς βίβλους στόμα.
Ἀμφὶ τρίτην δεκάτην σίγησεν χρύσεα χείλη.

Οὗτος ὁ μέγας φωστὴρ καὶ δαπρύσιος τῆς οἰκουμένης Διδάσκαλος, ἦν ἐκ τῆς μεγαλοπόλεως Ἀντιοχείας, πατρὸς Σεκούνδου στρατηλάτου καὶ μητρὸς Ἀνθούσης, ἀμφοτέρων εὐσεβῶν καὶ πιστῶν. Εὐθὺς δὲ ἐν ἀρχῇ τοῦ βίου πολὺν περὶ τοὺς λόγους ἐκτήσατο ἔρωτα. Τῇ οὖν περὶ τούτους σπουδῇ καὶ τῇ τῆς φύσεως ὀξύτητι, πᾶσαν ἑλληνικὴν παιδείαν μετῆλθε, φοιτήσας παρὰ Λιβάνιον καὶ Ἀνδραγάθιον, τοὺς ἐν Ἀντιοχείᾳ σοφιστάς, εἶτα τοὺς ἐν Ἀθήναις. Μελετήσας δὲ καλῶς τήν τε τῶν Ἑλλήνων καὶ τῶν χριστιανῶν γραφήν, καὶ εἰς τὸ ἄκρον τῆς περὶ αὐτὴν ἐλάσας γνώσεως καὶ ἁγνείᾳ καὶ καθαρότητι τὸν βίον κοσμήσας, εἰς τὸ τοῦ Κληρικοῦ ἀνάγεται σχῆμα παρὰ τοῦ ἐν ἁγίοις Μελετίου Πατριάρχου Ἀντιοχείας, παρὰ δὲ Φλαβιανοῦ Διάκονος καὶ Πρεσβύτερος γίνεται.

Πολλοὺς δὲ συντάξας λόγους, κρείττονας ἀριθμοῦ, περί τε μετανοίας καὶ τῆς ἐν ἤθεσι καταστάσεως, καὶ πᾶσαν τὴν θεόπνευστον Γραφὴν ἑρμηνεύσας, ἐπεὶ Νεκτάριος ὁ τῆς Κωνσταντινουπόλεως Πρόεδρος τὸν βίον ἀπέλιπε, ψήφῳ τῶν Ἐπισκόπων, καὶ τῇ τοῦ βασιλέως Ἀρκαδίου προστάξει, ἐκ τῆς Ἀντιοχείας μεταπεμφθείς, Ἀρχιερεὺς τῆς Βασιλίδος καθίσταται πόλεως, κανονικῶς τὴν χειροτονίαν δεξάμενος. Ἐπέτεινε δὲ πλέον τὴν ἐν ταῖς ἑρμηνείαις τῆς Γραφῆς σπουδὴν καὶ τὴν ἐν ταῖς διαλέξεσι διδασκαλίαν, δι' ἧς πολλοὺς πρὸς θεογνωσίαν καὶ μετάνοιαν ἤγαγε.

Τοσοῦτον δὲ ἑαυτὸν ἐπέδωκε τῇ ἀσκήσει καὶ ἐγκρατείᾳ, ὡς βραχέος μόνου μεταλαμβάνειν τοῦ ἐκ κριθῆς χυλοῦ καὶ ὕπνου μικροῦ· καὶ τούτου οὐκ ἐπὶ κλίνης, ἀλλ' ἱστάμενος καὶ σχοινίοις τισὶ διαβασταζόμενος· εἰδέ που ὀκλάσειε, καθεζόμενος. Τῷ δὲ περιόντι τῆς πρὸς τοὺς δεομένους φιλανθρωπίας καὶ ἑτέροις πολλοῖς, εἰς τοῦτο καθίσταται τύπος· ὅθεν καὶ ἐν λόγοις ἐδίδασκε προσφυῶς πρὸς τὴν τοιαύτην ἀρετὴν διακεῖσθαι καὶ πλεονεξίας ἀπέχεσθαι.

Διά τοι τοῦτο, καὶ Εὐδοξίᾳ τῇ βασιλίσσῃ πρῶτον προσέκρουσε καὶ εἰς ἔχθραν κατέστη. Ἡ μὲν γὰρ ἥρπασεν ἀμπελῶνα χήρας τινὸς καὶ ἡ χήρα ἐπεβοᾶτο ζητοῦσα τὸ ἑαυτῆς· καὶ ὁ Ἅγιος παρῄνει, τὸ ἀλλότριον μὴ κατέχειν· καὶ μὴ πειθομένην τὴν βασιλίδα διήλεγχε, καὶ τῷ κατὰ τὴν Ἰεζάβελ ὑποδείγματι ἐστηλίτευεν. Ἡ δὲ ἀποθηριοῦται, ἐγκρατῶς ἐχομένη τοῦ ἀμπελῶνος, καὶ τοῦ θρόνου ἀπελαύνει αὐτόν, τὸν μὲν πρῶτον δι' ἑαυτῆς, τὸ δὲ δεύτερον δι' Ἐπισκόπων, οἳ ταῖς δυναστείαις μᾶλλον ἢ τῇ εὐσεβείᾳ ἐπολιτεύοντο. Εἶτα πάλιν ἀποκαθίσταται εἰς τὸν θρόνον αὐτοῦ. Καὶ ὁ μὲν Ἅγιος πάλιν τὸ τελευταῖον ἐν Κουκουσῷ τῆς Ἀρμενίας ἐξορισθεὶς καὶ θλίψεσι προσομιλήσας πολλαῖς, τὴν τιμίαν αὐτοῦ ψυχὴν τῷ Κυρίῳ παρέθετο.

Ὡς δὲ ἡ κατ' αὐτὸν ἱστορία δηλοῖ, μετὰ τὴν τούτου ἀπὸ τοῦ θρόνου κάθοδον καὶ ὑπερορίαν, οἱ συνεργήσαντες εἰς τὴν τούτου ἐξορίαν, νόσοις ἐξετασθέντες δειναῖς καὶ διαφόροις, τοῦ ζῆν ἀπηλλάγησαν, τὰς ψυχὰς ἀπορῥήξαντες, τῆς Εὐδοξίας πρώτης τοῦτο παθούσης, ὡς καὶ πρώτης ἀνομησάσης καὶ τοῖς Ἐπισκόποις γενομένης ἀπωλείας προξένου. Φασί δέ, ὅτι, μετὰ τὴν αὐτῆς τελευτήν, πρὸς ἔλεγχον τῆς εἰς τὸν Χρυσόστομον ἀδικίας, ἡ λάρναξ, ἔνθα κατετέθη, ἐκινεῖτο ἐπὶ χρόνοις τριάκοντα καὶ δύο· ἐν δὲ τῷ ἀνακομισθῆναι τὸ τοῦ Χρυσοστόμου τίμιον λείψανον καὶ

ἀποτεθῆναι ἔνθα νῦν ἐστι, τοῦ κλόνου καὶ τῆς κινήσεως ἔστη.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἁγίας Ἀνθούσης, μητρὸς τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου.

Στίχ. Ἡ Ἀνθοῦσα πάγχρυσος ῥίζα ὑπάρχει,
Ἄνθος ἀνθήσασα χρυσοῦν Ἰωάννην.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων μαρτύρων Βαλεντίνου, Σολούτωρος καὶ Βίκτωρος τῶν ἐν Ῥαβέννῃ τῆς Ἰταλίας. (†305)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου μάρτυρος Ματρίου, ἕλληνος δούλου, βασανισθέντος καὶ καρατομηθέντος. (†314)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Δαμάσου, πάπα Ῥώμης. (†384)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων Ἀρκαδίου, Πασχασίου, Πρόβου, Εὐτυχιανοῦ καὶ Παυλίλλου, πρωτομαρτύρων κατὰ τὸν διωγμὸν ὑπὸ τῶν Βανδάλων. (†437)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Βρισίου (Bricius), ἐπισκόπου Τουρώνης (Tours) τῆς Γαλλίας. (†444)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Εὐφρασίου, ἐπισκόπου Ἀρβέρνης (Arvernis, Clermont) ἐν Γαλλίᾳ. (†515)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Λεωνιένου (Leonien) ἐν Βιέννῃ (Vienne) τῆς Γαλατίας. (†518)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Κουϊντινιανοῦ (Quintianus), ἐπισκόπου Ἀρβέρνης (Arvernis, Clermont) ἐν Γαλλίᾳ. (†525)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Δαλματίου, ἐπισκόπου Ῥουτενόρου (Rutenorum, Rodez) ἐν Γαλλίᾳ. (†580)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Δεβινίκου (Devinicus), ἐργασαμένου ἱεραποστολικῶς μετὰ τῶν ἁγίων Κολουμβανοῦ (Columba) καὶ Μαχάρου (Machar) ἐν Κάτνες (Caithness) τῆς Σκοτίας. (Ϛ΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἁγίας παρθενομάρτυρος Κολουμβανῆς (Columba) ἐν Κορνουάλλῃ. (Ϛ΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Εὐγενίου τοῦ α΄, ἐπισκόπου Τολέδου Ἱσπανίας. (†657)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἁγίας Μαξελλένδης (Maxellendis), ξίφει τελειωθείσης ἐπεὶ ποθούσης τὴν μοναχικὴν πολιτείαν ἐν Καλδεριακῷ (Calderiacum, Caudry) εἰς βόρειον Γαλλίαν. (~†670)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Κιλλιανοῦ (Kilian), ἱεραποστόλου εἰς Ἀρετεσίαν (Artois) ἐν τῇ βορείῳ Γαλλίᾳ. (Ζ΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Γρεδιαφαήλου (Gredifael), ἡγουμένου τοῦ Ἀββαείου Ἀλβαλάνδης (Albalanda, Whitland) ἐν Δυφέδῃ (Dyfed) τῆς Οὐαλίας. (Ζ΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου ὁσιομάρτυρος Ἄββωνος (Abbo), ἡγουμένου τῆς μονῆς Φλωριακοῦ (Floriacum, Fleury), λόγχῃ τελειωθέντος ἐν Ῥεγούλῃ (Regula, La Réole) Γασκονίας, ἐν μεσημβρινῇ Γαλλίᾳ. (~†1004)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου νέου ὁσιομάρτυρος Δαμασκηνοῦ Κωνσταντινουπολίτου, καὶ ἐν Κωνσταντινουπόλει μαρτυρήσαντος. (†1681)

Στίχ. Βλέπεις, Ἀθλητά, ἡδονικῶς τὸ ξίφος·
Σὺν τῷ ξίφει γὰρ ἔβλεπες καὶ τὸ στέφος.

Ταῖς τοῦ Χρυσορρήμονος πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.


* * *

ΚΑΤΑΒΑΣΙΑΙ


Τῆς Θεοτόκου (πρὸ τῶν Εἰσοδίων).
Ἀπὸ τῆς 8ης μέχρι τῆς 20ῆς Νοεμβρίου ψάλλονται
αἱ Καταβασίαι τῆς Θεοτόκου μετὰ παραλλαγῶν.

Ἦχος  Βου ξ

ᾠδὴ α΄



ᾠδὴ γ΄




ᾠδὴ δ΄







ᾠδὴ ε΄




ᾠδὴ ϛ΄




ᾠδὴ ζ΄







ᾠδὴ η΄


Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν Κύριον, ὑμνοῦντες καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας.





Η ΩΔΗ ΤΗΣ ΘΕΟΤΟΚΟΥ






ω ω τω ω σω τη ρι μϑ
Βϑ
Τ ην τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι
α φθο ο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον σε ε με γα λυ νο μεν
2
Βϑ
Ο τι ε πε βλε ψεν ε πι την τα πει νω
σιν της δϑ λης αυ τϑ ι δϑ γαρ α πο τϑ νυν μα
κα ρι ϑ σι με πα σαι αι γε νε αι
Βϑ
Τ ην τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι
α φθο ο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον σε ε με γα λυ νο μεν
3
Βϑ
Ο τι ε ποι η σε μοι με γα λει α ο
δυ να τος και α γι ον το ο νο μα αυ τϑ και
το ε λε ος αυ τϑ εις γε νε αν και γε νε



αν τοις φο βϑ με νοις αυ τον
Βϑ
Τ ην τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι
α φθο ο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον σε ε με γα λυ νο μεν


4
Βϑ
Ε ποι η σε κρα τος εν βρα χι ο νι αυ τϑ
δι ε σκορ πι σεν υ πε ρη φα νϑς δι α νοι
α καρ δι ας αυ των


Βϑ
Τ ην τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι
α φθο ο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον σε ε με γα λυ νο μεν


5
Βϑ
Κα θει λε δυ να στας α πο θρο νων και υ υ
ψω σε τα πει νϑ ϑς πει νων τας ε νε πλη σεν α γα
θω ων και πλϑ τϑ ϑν τας ε ξα πε στει λε κε


νϑ ϑς
Τ ην τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι α
φθο ρως Θε ον Λο γον τε κου ου ου σαν την ον τως
Θε ο το κον σε ε με γα λυ νο μεν
6
Αν τε λα βε το Ισ ρα ηλ παι δος αυ τϑ
μνη σθη ναι ε λε ϑς κα θως ε λα λη σε προς
τϑς πα τε ρας η μων τω Α βρα αμ και τω σπερ
μα τι αυ τϑ ε ως αι ω νος
Τ ην τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι α
φθο ρως Θε ον Λο γον τε κου ου ου σαν την ον τως
Θε ο το κον σε ε με γα λυ νο μεν
ᾠδὴ θ΄
Α πας γη γε νης σκιρ τα τω τω πνευ μα τι λα
μπα α δϑ χϑ με νος πα νη γυ ρι ζε τω ω δε α




Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

* * *


ΤΑ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ


Ἐν πνεύματι τῷ ἱερῷ. Ἦχος Γα




Ἕτερον.

Γυναῖκες ἀκουτίσθητε. Ἦχος Δι







Θεοτοκίον.




Εἰς τοὺς Αἴνους.

Ἦχος Πα







Ἱστῶμεν Στίχους δ΄, καὶ ψάλλομεν
τὰ ἑξῆς Στιχηρὰ προσόμοια.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Στίχ. α΄. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Χρυσοῦ τηλαυγέστερον, τὰ ἱερά σου διδάγματα, προχεόμενος πάνσοφε, πλουτίζεις Χρυσόστομε, πενομένας φρένας· καὶ ἀποδιώκεις, τῶν παθημάτων τὴν ἀχλύν, φιλαργυρίας πικρὸν χειμῶνά τε· διό σε μακαρίζομεν, χρεωστικῶς καὶ τὴν κόνιν σου, τῶν λειψάνων σεβόμεθα, ὡς πηγὴν ἁγιάσματος.

Στίχ. β΄. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Ὁ στῦλος ὁ πύρινος, ὁ ποταμὸς ὁ τοῖς νάμασι, τῶν δογμάτων κατάῤῥυτος, ὁ νοῦς ὁ οὐράνιος, τῆς Θεολογίας, τὸ πάγχρυσον στόμα, ἁμαρτωλῶν ἐγγυητής, τῆς μετανοίας κῆρυξ ὁ ἔνθεος, φωστὴρ ὁ διαυγέστατος, ὁ ἐπουράνιος ἄνθρωπος, ὁ μακάριος σήμερον, ἀνυμνείσθω Χρυσόστομος.

Στίχ. γ΄. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Ἥλιος πολύφωτος, τὴν οἰκουμένην τοῖς λόγοις σου, καταυγάζων γεγένησαι, ἀστὴρ φαεινότατος, λαμπὰς φανοτάτη, πυρσὸς τοὺς θαλάσσῃ, τῇ κοσμικῇ διαπαντός, χειμαζομένους ὁ προσκαλούμενος, πρὸς ὅρμον γαληνότατον, τῆς σωτηρίας ἐν χάριτι, χρυσολόγε Χρυσόστομε, πρεσβευτὰ τῶν ψυχῶν ἡμῶν.


Στίχ. δ΄. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.


Ἀδίκως τῆς ποίμνης σου, ἀπελαθεὶς Πάτερ ὅσιε, προσωμίλησας θλίψεσι, πικραῖς ἐξορίαις τε· ἐν αἷς ἠξιώθης, μακαρίου τέλους, οἷα γενναῖος ἀθλητής, καταπαλαίσας τὸν πολυμήχανον· καὶ νίκης διαδήματι, σὲ ὁ Χριστὸς ἐστεφάνωσε, Ἰωάννη Χρυσόστομε, πρεσβευτὰ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Τοῦ Ἁγίου.


Ἀνατολίου.

Ἦχος πλ. δ΄ Νη ζ





Καὶ νῦν. Θεοτοκίον.





* * *


Καὶ εὐθὺς ψάλλεται εἰς τὸν αὐτὸν ἦχον


Η ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ

Δοξολογία Μανουὴλ Πρωτοψάλτου.





μεν σε δο ξο λο γου μεν σε ευ χα ρι στου μεν σοι δι
α την με γα α λην σου δο ξαν
Κ υ ρι ε Βα σι λευ ε που ρα νι ε Θε ε
Πα τερ παν το κρα α τορ Κυ ρι ε Υι ε μο νο γε νες
Ι η σου Χρι στε και Α γι ον Πνευ μα
Κ υ ρι ε ο Θε ος ο αμ νος του Θε ου ο Υι
ος του Πα τρος ο αι αι ρων την α μαρ τι ι αν
του κο οσ μου ε λε η σον η μας ο αι αι ρων τας α μαρ
τι ι ας του κο σμου
Π ρο σδε ξαι την δε η σιν η μων ο κα θη με νος εκ
δε ξι ω ων του Πα τρος και ε λε η σον η μας
Ο τι συ ει μο νος Α γι ος Συ ει ει μο νος
Κυ ρι ος Ι η σους Χρι στος εις δο ο ξαν Θε ου Πα τρος
α μη ην
Κ αθ ε κα α στην η με ραν ευ λο γη σω σε και
αι νε ε σω το ο νο μα α σου εις τον αι ω ω να και


εις τον αι ω να του αι ω νος
Κ α τα ξι ω σον Κυ ρι ε εν τη η με ρα τα
αυ τη α να μαρ τη τους φυ λα χθη ναι η μα ας
Ε υ λο γη τος ει Κυ ρι ε ο Θε ος των πα
τε ε ρων η μων και αι νε τον και δε δο ξα σμε ε νον
το ο νο μα α σου εις τους αι ω νας α μη ην
Γ ε ε ε νοι το Κυ ρι ε το ε λε ος σου εφ η
μας κα θα περ ηλ πι σα α μεν ε πι σε ε
Ε υ λο γη το ος ει ει Κυ ρι ι ι ε δι δα ξον με
τα δι και ω μα τα σου (τρίς)
Κ ρι ε κα τα φυ γη ε γεν νη η θης η μιν εν γε
νε α και γε νε α ε γω ει πα Κυ ρι ι ε ε λε
η σο ον με ι α σαι την ψυ χη ην μου ο τι η μαρ τον
σοι
Κ υ ρι ε προς σε κα τε ε φυ γον δι δα ξο ο ον με
του ποι ειν το θε λη μα α σου ο τι συ ει ο Θε


ο οσμου
Ο τι πα ρα σοι πη γη ζω ης εν τω φω τι
σου ο ψο με θα φω ως
Π α ρα τει ει ει νον το ε λε ο οσσου τοις γι νω
σκου σι σε
Α α γι ος ο Θε ος Α α γι ος Ι σχυ ρος Α γι
ος α θα νατος ε λε η σον η μα ας (τρίς)
Δ ο ξα Πα τρι ι και Υι ω και α γι ω Πνευ μα
τι
Κ αι νυν και α ει ει και εις τους αι ω νας των αι ω
νων α μη ην
Α γι ος α θα νατος ε λε η σον η μα ας


Ἀσματικὸν.

Α α α γι ι ος ο Θε ε ε ο ος
Α α α γι ι ος Ι σχυ υ υ ρο ος Α γι ι ος
Α α θα α α α α να α α α α τος ε λε ε



Καὶ τὸ ἀπολυτίκιον τοῦ Ἱεράρχου.

Ἦχος πλ. δ Γα ϱ




* * * * *

ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ


Ὁ διάκονος τὰ εἰρηνικὰ

Τὰ ἑξαπλᾶ.

Ἦχος πλ. δ Νη ϱ











Τὰ Ἁγιορείτικα (καταγραφὴ Μελετίου Συκιώτου).

Ἦχος πλ. δ΄ Νη ζω














Ἀθανασίου Καραμάνη.


Ἦχος πλ. δ΄ Νη ζω












Εἰς τὰ Εἰρηνικά, Κύριε Ἐλέησον.
Ἰωάννου Β. Ἀρβανίτη.

Ἦχος πλ. Νη




(Ἐτονίσθησαν πρὸ πολλῶν ἐτῶν, ἐγράφησαν ἐνταῦθα κβ΄ Ἰουλ ,βιθ΄ Ἰ. Ἀ.)

καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·
Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἀντίφωνον Α΄. Ἦχος β΄. Ψαλμὸς ϟα΄ (91).


Ἦχος Δι

Στίχ. α΄. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε. (ϟα΄ 2)






Στίχ. β΄. Τοῦ ἀναγγέλλειν τῷ πρωὶ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. (ριά΄ 3)






Στίχ. γ΄. Ὅτι εὐφρανάς με, Κύριε, ἐν τοῖς ποιήμασί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι. (ριά΄ 5)







Στίχ. δ΄. Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. (ριά΄ 16)





Δόξα. Καὶ νῦν.







Ὁ διάκονος τὴν μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·


Ὅτι σὸν τὸ κράτος...

Ἀντίφωνον Β΄. Ἦχος πλ. α΄. Ψαλμὸς ριβ΄ (92).


Στίχ. α΄. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο. (ριβ΄ 1)









Στίχ. β΄. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. (Ψβ΄ 1)









Στίχ. γ΄. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος. (Ψβ΄ 4)









Στίχ. δ΄. Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα· τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν. (Ψβ΄ 5)










Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.









Ὁ διάκονος τὴν μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος...

Ἀντίφωνον Γ΄. (Ἐκλογή).


Ἦχος πλ. δ΄ Γα ρ


Στίχ. α΄. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. (ριε΄ 6)

Στίχ. β΄. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. (ρια΄ 1)

Στίχ. γ΄. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δι-καιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται. (ρλα΄ 9)

Τὸ ἀπολυτίκιον τοῦ ἁγίου.





τὸ τέλος:




* * *

ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ


Εἰσοδικόν. Ἦχος β΄.

(Ἐὰν εἰσοδεύουν πολλοὶ ἱερεῖς, ψάλλουν αὐτοὶ τὸ εἰσοδικόν).

Ἦχος Δι





ὁ β΄ χορός:



* * *

Τὸ ἀπολυτίκιον τοῦ ἁγίου.






Εἶτα τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ Ναοῦ.

Δόξα.

Κοντάκιον τοῦ Ἱεράρχου.

Τὴν ὑπὲρ ἡμῶν. Ἦχος Δι




Καὶ νῦν.

Κοντάκιον τῶν Εἰσοδίων τῆς Θεοτόκου.

(ἀπὸ ἡ΄ ἕως κε΄ πλὴν τῆς κ΄ Νοεμβρίου).

(ψάλλεται ὑπὸ τῶν ἱερέων, ἐὰν τελεῖται συλλείτουργον)


Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ. Ἦχος δ΄ Δι-




* * *

ΤΡΙΣΑΓΙΟΣ ὙΜΝΟΣ

Ἦχος δ΄ Δι-




Τό τρίτον.


ο ο ο ο ος α γι ος ι σχυ ρο ο ο ο ος
α α γι ι ος α θα α να τος ε λε ε ε η
σο ο ον η μα ας
Δ ο ξα Πα τρι και Υι ω και α γι ω Πνε ευ μα
τι
Κ αι νυν και α ει και εις τους αι ω νας των αι ω
νων α μην
Α α γι ι ος α θα α να τος ε λε ε ε
η σο ο ον η μα ας
Δ υ να α α μις Α γι ος ο Θε ο ο ο
ο ο ο ο ο ο ο ο ο ο ο ος α γι ος
ι σχυ ρο ο ο ο ος α α α α α α
α α α α γι ι ι ος α θα α να α α το ο
ο ος ε λε ε η η σον η η μα ας


Τρισάγιον. Σύντομον.


Ἦχος Δι



Δύναμις τοῦ βήματος.


Ἦχος Δι








Δύναμις Νηλέως Καμαράδου († 1922)


Ἦχος Δι






ο ο ο ο ο ο ο ο ο ο χο ο ο α γι
ο ος ο ο ο ο ο ο ο ο Θε ε ε ο ο ο
ο ο ο ο ο ο ο ος


α α α α α α α α α α α α
α α α α α α α α α α α γι ι ι ι ι ι
ι ι ι ι ι ι ι ι ι ι ι ι ι α γι


ο ο ο ο ο ο ο ο ο ο χο ο ο α γι
ος ι ι ι ι ι σχυ υ υ υ υ υ ϱο ο ο ο
ο ο ο ο ο ο ο ο ος


α α γι ι ι ι ι ι ι ι ι ι ι
ι χι ι ι ι ι ι ι ιε ε ε α α α
γι ι ι ο ο ος Α θα α α α α α α α
α χα α α α α α α α α α α α να α
α α α α α α ιε α θα να α α το ο ο


ος



* * *

Ἀπόστολον καὶ Εὐαγγέλιον τοῦ Ἱεράρχου.

ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Ἑβραίους (ζ΄ 26-28, η΄ 1-2).

Ὁ ἀναγνώστης· Ψαλμὸς τῷ Δαβίδ. Προκείμενον ἦχος α΄.

Ὁ διάκονος· Πρόσχωμεν.

Ὁ ἀναγνώστης τὸ προκείμενον καὶ τὸν στίχον αὐτοῦ.


(Ψαλμὸς μη΄).

Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. (μη΄ 4)


Στίχ. α΄. Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. (μη΄ 2)

Ἢ ὁ ψάλτης.

Ἦχος ⁴ Πα



Στίχ. α΄. Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. (μη΄ 2)



Στίχ. β΄. Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου. (μη΄ 5)



Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης·


Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ὁ διάκονος· Πρόσχωμεν.


Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος, ὃς οὐκ ἔχει καθ᾽ ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ ἑαυτὸν ἀνενέγκας. Ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν, ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον. Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὡς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, τῶν Ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, «ἣν ἔπηξεν ὁ Κύριος», καὶ οὐκ ἄνθρωπος.


Ἀλληλούϊα. Ἦχος β΄. Ψαλμὸς λϚ΄.

Ἦχος Δι





Στίχ. α΄. Στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα





Στίχ. β΄. Γινώσκει Κύριος τὰς ὁδοὺς τῶν ἀμώμων





ΕΥΑΓΓΕΛΙΟΝ


Ἐκ τοῦ κατὰ Ἰωάννην (ι΄ 9-16).

(Ζήτει τῇ ΙΓ΄ Νοεμβρίου, εἰς τὴν Λειτουργίαν).

Εἶπεν ὁ Κύριος· Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. Ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι καὶ περισσὸν ἔχωσιν. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησι τὰ πρόβατα καὶ φεύγει· καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει τὰ πρόβατα. Ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν, καθὼς γινώσκει με ὁ πατὴρ κἀγὼ γινώσκω τὸν πατέρα, καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνα με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.


Ἦχος ἰ ἰ Δι






* * *


Χερουβικόν, Ἰωάννου Ἀρβανίτη, ἦχος Δι




γι ι ι ι ο ο ο ον υ υ υ μνο ο ο ο ον
προ σα α α δο ο ο υ μνον προ ο σα α α
δο ο ον τε ες πα α α α α α σα α α α
αν την βι ι ω τι ι κη η η η η η η ην α
πο ο θω ω ω ω ω ω με ε ε ε ε θα α με ε
ρι ι ι μνα α α α α α α α α α αν
Ως τον βα σι ι λε ε ε ε ε ε
ε ε ε ε ε ε ε βα α σι ι λε ε ε
ε ε ε ε α
Τω ων ο ο ο ο ο λω ω ω ω ων υ
πο ο δε ξο ο ο με νοι οι Ται αις α αγ γε
λι ι και αις α ο ρα α α τω ως δο ο ρυ φο
ο ρϑ ϑ ϑ με νο ον τα α ξε σι ι ι ι ι
ι ι ι ι ιν Αλλη λϑ ϑ ϑ ϊ ϊ ϊ ϊ
α α α α α

Τὰ Λειτουργικὰ,
ὡς διασώθηκαν ἐν τῇ Μεγάλῃ τοῦ Χριστοῦ Ἐκκλησίᾳ,
κατὰ παράδοσιν ἀρχαιοτάτην. Καταγραφὴ Κ. Ψάχου.


Ἦχος




Τὸ Σύμβολον τῆς πίστεως.


Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τόν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.


* * *






Γρηγορίου Πρωτοψάλτου. Ἦχος Δι







Τῇ Τρίτῃ. Κοινωνικόν, Πέτρου Λαμπαδαρίου.

Ἦχος Βαρύς Ζω




συ υ νο ο ον αι ω ω ω ω ω ω ω ω
ω ω ω ω ω ω ω ω ω ω ω ω ω ω αι αι
αι ω ω ω ω ϙω ω ω ω ω ω ω ω ω αι
ω ω ω ω ω ω ω ω ω ω ω ω χω ω ω ω
ω ω ω ω ω ω ω ω ω ω ω ω ω νι ι ι
ι ι ι αι αι ω ω ω ω ω ω ω νι ι ι
ο ο ο ο ο ο ο ο ο ο ον ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε
ε σται αι αι ε σται αι δι ι ι ι ι ι ι
ι ι ι ι χι ι ι ι ι ι ι ι ι ι ι
χι ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι
ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι χι ι
ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι χι
ι ι ι ι ι ϙι ι ι ι ι ι ι ι ι ε
ε σται αι δι ι ι ι ι ι ι ι ι και αι αι αι




Ἐκ τοῦ Ταμείου Ἀνθολογίας Θεοδώρου παπα-Παράσχου, Φωκαέως, μετὰ σημάνσεως τῶν ῥυθμικῶν ποδῶν καὶ τῶν ἔλξεων, ὡς καί τινων ἄλλων σημείων, παρὰ Ἰωάννου Β. Ἀρβανίτη, μουσικοδιδασκάλου.


ΑΘΗΝΑΙ 2003


Οἱ ἐντὸς παρενθέσεως ἔλξεις καὶ φθορὲς ἐκτελοῦνται κατὰ βούλησιν.

Ἦχος Δι




Ἦχος Δι




ως σϑ Κυ ρι ε ο πως α νυ μνη σω μεν την δο ο
ξαν σϑ ο τι η ξι ω σας η μας των α
γι ων σϑ με τασ χειν μυ στη ρι ι ι ι ων τη ρη σον
η μας εν τω σω α γι α σμω ω ο λην την η
με ε ραν με λε των τας την δι και ο συ υ νην σϑ
Α λλη λϑ ϊ α Α λλη λϑ ϊ α Α λλη
λϑ ϊ α α α

Ἦχος Δι


Ε ι η το ο νο μα Κυ ρι ϑ ευ λο γη με
νον α πο τϑ νυν και ε ως τϑ αι ω ω νος (δὶς)
Το ο νο μα Κυ ρι ϑ ει η ευ λο γη
με ε ε ε ε νο ο ο ον α πο τϑ νυν και ε ως
τϑ αι ω ω νο ο ος